μενον χεῖρόν ἐστιν ἐκείνου, οὗ ἕνεκα παραλαμβάνεται, ἔσται χεῖρόν τινος, ὅπερ οὐ θεμιτόν· ἄλλως τε εἰ ἔσται καὶ οὗ ἕνεκα καὶ ἕνεκά του δύο ἔσονταί τινα· δυὰς δὲ οὐ θεωρεῖται ἐκεῖ· εἰ δὲ ἥνωνται, πάλιν ἔσται τι κρεῖττον τὸ ἑνῶσαν, ὅπερ ἄτοπον· οὗ ἄρα ἕνεκά ἐστι μόνως· ἕνεκα δέ του μόνως ἡ ὕλη. ἕνεκα γὰρ τῶν εἰδῶν ἡ ὕλη παραλαμβάνεται· οὗ δὲ ἕνεκα οὐκ ἔστιν· εἰ γὰρ κρεῖττον τὸ οὗ ἕνεκα τοῦ ἕνεκά του, χειρίστη δὲ ἡ ὕλη, πῶς δύναται οὗ ἕνεκα εἶναι. τὰ δὲ μέσα πάντα ἐπαμφοτερίζει· οὕτω γ' οὖν καὶ τὰ σώματα καὶ οὗ ἕνεκά εἰσιν καὶ ἕνεκά του· ὡς μὲν πρὸς τὴν ὕλην παραβαλλόμενα οὗ ἕνεκα, ὡς δὲ πρὸς τὴν ψυχὴν ἕνεκά του. καὶ ἐπὶ τῶν πράξεων δὲ τὰ τρία θεωρεῖται, ἡ μὲν γὰρ εὐδαιμονία μόνως οὗ ἕνεκα· τὸ δὲ φλεβότομον καὶ τὸ φάρμακον μόνως ἕνεκά του· ἡ δὲ ὑγίεια ἐπαμφοτερίζει· ὡς μὲν γὰρ πρὸς τὸ φλεβότομον καὶ τὸ φάρμακον μόνως οὗ ἕνεκα, ὡς δὲ πρὸς τὴν εὐδαιμονίαν ἕνεκά του. δεῖ τοίνυν εἰδέναι, ὅτι τὸ τέλος ἐστὶ τὸ οὗ ἕνεκα, τὸ δὲ τέλος ἀγαθὸν καὶ τοῦτο βουλόμεθα πράττειν· ὁ ἄρα πράττων, ἃ βούλεται, τὸ οὗ ἕνεκα πράττει· εἰ δέ τις εἴποι· ὅτι τί οὖν οὐ βουλόμεθα καὶ κακόν, εἰπέ· ὅτι οὐ κυρίως, ἀλλ' ἐπειδὴ τὸ ἀγαθὸν ἢ φαινόμενόν ἐστιν ἢ ὄντως, ἔστιν ὅτε τοῦ φαινομένου ἐπιθυμοῦντες νομίζομεν τὸ ὄντως ἀγαθὸν διώκειν· ὥστε τὸ οὗ ἕνεκα κυρίως τὸ ἀγαθόν ἐστιν· ὅτι δὲ ὡς εἴρηται μόνως οὗ ἕνεκα τὸ πρῶτον αἴτιον δηλοῖ καὶ ὁ ὕμνος ὁ λέγων·

ἐκ σοῦ πάντα πέφυκε σὺ δ' οὐδένα οὕνεκα μοῦνος.

δέδεικται τοίνυν, ὅτι ὁ ἃ βούλεται πράττων τὸ οὗ ἕνεκα 2
πράττει. πάλιν τοίνυν ἵνα δείξῃ, ὅτι τὸ οὗ ἕνεκα ἀγαθόν ἐστι, λέγει, ὅτι τὸ οὗ ἕνεκα ἐφετόν ἐστι· τὸ ἐφετὸν ἀγαθὸν

---

25 Hymn. Orph. fr. inc.

---

6 mg. β′ 8 mg. γ′

12 mg. ἐπὶ πράξεων
οὗ ἕνεκα — εὐδαιμονία
ἕνεκά του καὶ οὗ ἕνεκα — ὑγίεια
ἕνεκά του — φλεβότομον

21 mg. ἀπορία
22 mg. λύσις

---

4 πάλιν] supr. lin. add. M[c] 9 καὶ (alt.) supr. lin. add. M[c]
15 οὗ] supr. lin. add. M[c] ἕνεκα] seqq. ∸ ∸ in ras.